UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

LIX. Descriptio eiusdem martyrii.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A

## CAPUT LIX.

*Descriptio ejusdem Martyrii.*

AC templum quidem ipsum maximo Imperatoris studio hûc in modum exornabatur. Circa ipsum templũ ingens erat area, libero ac patente desuper cœlo. Cujus ad quatuor latera, porticus erant sibi invicem conjunctæ, quæ aream in medio sitam una cum ipso tẽplo circumcingebant. Præterea basilicæ; lavacra; diversoria; & alia plurima habitacula ad usum eorum qui locum custodiebant, porticibus applicita, earũ longitudinem æquabant.

## Κεφ. ΝΘʹ.

*Ἔκφρασις ἔτι τοῦ αὐτοῦ μαρτυρίου.*

ΚΑὶ ὁ μὲν νεὼς ὧδε, σὺν πολλῇ βασιλέως φιλοτιμίᾳ, σπουδῆς ἠξιοῦτο· ἀμφὶ δ᾽ αὐτὸν, αἴθριος ἦν αὐλὴ παμμεγέθης, εἰς ἀέρα καθαρὸν ἀναπεπταμένη· ἐν τετραπλεύροις δὲ ταύτης στοαὶ διέτρεχον, μέσον αὐτῶν νεὼ τὸ αἴθριον ἀπολαμβάνουσαι· οἶκοί τε βασίλειοι ταῖς στοαῖς, λουτρά τε καὶ ἀνακαμπτήρια παρεξετείνετο, ἄλλα τε πλεῖστα καταγώγια τοῖς τοῦ τόπου φρουροῖς ἐπιτηδείως εἰργασμένα.

B

## CAPUT LX.

*Quòd etiam in eo templo sepulcrũ sibi ædificavit.*

HAec omnia dedicavit Imperator eo consilio, ut Apostolorum Servatoris nostri memoriã posteris in perpetuum commendaret. Sed & aliud quidpiam in mente habens, ædem illam construxit: quod initio quidem obscurum, tandem verò omnibus sub finem innotuit. Quippe ipse hunc sibi locum post mortem designaverat; incredibili fidei alacritate prospiciens, ut corpus suum communem cum Apostolis appellationẽ post obitum sortiretur: quò scilicet precationum quæ in honorem Apostolorum ibi celebrandæ erant, etiam mortuus particeps fieret. Cum igitur duodecim illic capsas, quasi sacras quasdam columnas in honorem ac memoriam Apostolici collegii erexisset, suam ipsius arcam in medio constituit, quæ senas utrinque Apostolorũ capsas dispositas habebat. Atque id in eo loco ubi corpus ipsi⁹ post mortem decenter deponendum esset, solertissimè providit. His ille diu antea sagaci mente dispositis, ædem Apostolis consecravit; pro certo sibi persuadens, horum memoriam non parum utilitatis animæ suæ esse allaturam. Nec verò Deus eum voto atque exspectatione sua frustratus est. Nam cum primas Paschalis festi exercitationes obiisset, ipsumque Servatoris nostri diem, tum sibi tum aliis omnibus lætum atque hilarem reddidisset; his illum rebus intentum, & in hujusmodi operibus perstantem usque ad exitum vitæ, Deus cujus auxilio cuncta gerebat, opportunè tandem eum ad meliorem sortem transferre dignatus est.

## Κεφ. Ξʹ.

*Ὅτι ἐν τούτῳ καὶ μνημεῖον εἰς ταφὴν ἑαυτοῦ προσκατεσκεύασεν.*

ΤΑῦτα πάντα ἀφιέρου βασιλεύς, διαιωνίζων εἰς ἅπαντας τὴν τοῦ Σωτῆρος ἡμῶν ἀποστόλων τὴν μνήμην· ᾠκοδόμει δ᾽ ἄρα καὶ ἄλλο τι τῇ διανοίᾳ σκοπῶν. ὃ δὴ λανθάνον τὰ πρῶτα, κατάφωρον πρὸς τῷ τέλει τοῖς πᾶσιν ἐγίνετο. αὐτὸς γοῦν αὑτῷ εἰς δέοντα καιρὸν τῆς αὐτοῦ τελευτῆς, τὸν ἐνταυθοῖ τόπον ἐταμιεύετο, τῆς τῶν Ἀποστόλων προσρήσεως κοινωνὸν γενέσθαι καὶ τὸ τοῦ σκήνους μετὰ θάνατον, προνοῶν ὑπερβαλλούσῃ πίστεως προθυμίᾳ γεγενῆσθαι, ὡς ἂν καὶ μετὰ τελευτὴν, ἀξιοῖτο τῶν ἐνταῦθα μελλουσῶν ἐπὶ τιμῇ τῶν Ἀποστόλων συντελεῖσθαι εὐχῶν. δώδεκα δ᾽ οὖν αὐτόθι θήκας, ὥσπερ στήλας ἱεράς, ἐπὶ τιμῇ καὶ μνήμῃ τοῦ τῶν Ἀποστόλων ἐγείρας χοροῦ, μέσην ἐτίθει τὴν ἑαυτοῦ λάρνακα. ἧς ἑκατέρωθεν, τῶν Ἀποστόλων ἀνὰ ἓξ διέκειντο. καὶ τοῦτο γοῦν ὡς ἔφην σὺν φρονίμῳ λογισμῷ, ἔνθα αὐτῷ τὸ σκῆνος τελευτήσαντι τὸν βίον εὐπρεπῶς μέλλοι διαναπαύεσθαι, ἐσκόπει. ἀλλ᾽ ὁ μὲν, ἐκ μακροῦ καὶ πρόπαλαι τῷ λογισμῷ ταῦτα πρυτανευόμενος, ἀφιέρου τοῖς Ἀποστόλοις τὸν νεών. ὠφέλειαν ψυχῆς ὀνησιφόρον, τὴν τῶνδε μνήμην ποιεῖσθαι αὐτῷ πιστεύων· Θεὸς δ᾽ αὐτὸν καὶ τῶν κατ᾽ εὐχὴν προσδοκηθέντων οὐκ ἀπηξίου. ὡς γὰρ τὰς πρώτας τῆς τοῦ πάσχα ἑορτῆς συνεπλήρου ἀσκήσεις, τήν τε σωτήριον διήγαγεν ἡμέραν, λαμπρὰν αὐτῷ τε καὶ τοῖς πᾶσι τὴν ἑορτὴν καταφαίνων, ἐν τούτῳ τελευτᾶν τὴν ζωὴν διανύοντα καὶ ἐν τούτοις ὄντα, Θεὸς ᾧ ταῦτα συνεξετέλει, κατὰ καιρὸν εὔκαιρον τῆς θείας ἐπὶ τὸ κρεῖττον μεταβάσεως αὐτὸν ἠξίου.

C

D

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN